ῥυπαρεῖ μᾶλλον καὶ τοῖς ἐμπαθέσιν ἑτέροις κόρα:

Τῆς τῶν βρωμάτων ποικιλίας, ὁ κόρος ποιεῖ ἐπιθυμίαν· ἡ δὲ ἔνδεια, ἡδονὴν καὶ αὐτοῦ τοῦ ψιλοῦ ἄρτου: Χ' πολλάκις τὸν φθόνον οὐ σχηματίζεται τῷ φθονουμένῳ κρυπτῶς· καὶ ἀπαλλάττεται φθόνου, ὁ τὸν φθόνον μὲν δὴ κρύπτων:

Τοῦ ἀμελοῦς βιώσαντος, μακρὰν ἔστησεν ἑαυτόν· καὶ τὸ ὄνομα μετὰ παρὰ πολλοῖς κεῖται:

Ἄνδρα φιλόπονον κτῆσαι φίλον· καὶ εὖ εἰσῆς ὡς σκέπην τῶν σῶν ὀφθαλμῶν: Δεινὸν τοῖς πολλοῖς ὁ ἀμελὴς πέφηνε· καὶ ὡς ἐχθρὸν αὐτὸν ἀποδιώκουσιν: Εὐνοεῖ σοι ὡς φίλος ὢν

ζ καιρῷ ἑτέρῳ· καὶ ἐν καιρῷ πειρασμοῦ, ὡς ἐχθρὸς πολεμεῖ: Τὴν ψυχὴν τίθει ὑπὲρ ἀδελφοῦ· περὶ τὰς κινήσεις τῶν παθῶν· καὶ ὅτε κινηθῶσιν τὴν ψυχὴν συλλαμβάνεται: Ἡ χερσωθεῖσα γῆ ἀκάνθων πεπλήρωται· καὶ ἀμελὴς ψυχή, παθῶν ἀκαθάρτων: Νοῦς φρόνιμος χαλινοῖ ψυχὴν αὐτοῦ, καὶ ὑποπιάζει τὸ σῶμα, καὶ δουλαγωγεῖ τὰ πάθη: